Θη. κήρυξιν Ἑρμοῦ πίcυνος, ὡς θάψηις νεκρούς;
Αδ. κἄπειτά γ' οἱ κτανόντες οὐκ ἐῶcί με.
Θη. τί γὰρ λέγουcιν, ὅcια χρήιζοντος cέθεν;
Αδ. τί δ'; εὐτυχοῦντες οὐκ ἐπίcτανται φέρειν.
Θη. ξύμβουλον οὖν μ' ἐπῆλθες; ἢ τίνος χάριν;
Αδ. κομίcαι cε, Θηcεῦ, παῖδας Ἀργείων θέλων.
Θη. τὸ δ' Ἄργος ἡμῖν ποῦ 'cτιν; ἦ κόμποι μάτην;
Αδ. cφαλέντες οἰχόμεcθα· πρὸς cὲ δ' ἥκομεν.
Θη. ἰδίαι δοκῆcάν cοι τόδ' ἢ πάcηι πόλει;
Αδ. πάντες ⟨c'⟩ ἱκνοῦνται Δαναΐδαι θάψαι νεκρούς.
Θη. ἐκ τοῦ δ' ἐλαύνεις ἑπτὰ πρὸς Θήβας λόχους;
Αδ. διccοῖcι γαμβροῖς τήνδε πορcύνων χάριν.
Θη. τῶι δ' ἐξέδωκας παῖδας Ἀργείων cέθεν;
Αδ. οὐκ ἐγγενῆ cυνῆψα κηδείαν δόμοις.
Θη. ἀλλὰ ξένοις ἔδωκας Ἀργείας κόρας;
Αδ. Τυδεῖ ⟨γε⟩ Πολυνείκει τε τῶι Θηβαιγενεῖ.
Θη. τίν' εἰς ἔρωτα τῆcδε κηδείας μολών;
Αδ. Φοίβου μ' ὑπῆλθε δυcτόπαcτ' αἰνίγματα.
Θη. τί δ' εἶπ' Ἀπόλλων παρθένοις κραίνων γάμον;
Αδ. κάπρωι με δοῦναι καὶ λέοντι παῖδ' ἐμώ.
Θη. cὺ δ' ἐξελίccεις πῶς θεοῦ θεcπίcματα;
Αδ. ἐλθόντε φυγάδε νυκτὸς εἰς ἐμὰς πύλας
Θη. τίς καὶ τίς; εἰπέ· δύο γὰρ ἐξαυδᾶις ἅμα.
Αδ. Τυδεὺς μάχην cυνῆψε Πολυνείκης θ' ἅμα.
Θη. ἦ τοῖcδ' ἔδωκας θηρcὶν ὣς κόρας cέθεν;
Αδ. μάχην γε διccοῖν κνωδάλοιν ἀπεικάcας.
Θη. ἦλθον δὲ δὴ πῶς πατρίδος ἐκλιπόνθ' ὅρους;
Αδ. Τυδεὺς μὲν αἷμα cυγγενὲς φεύγων χθονός.
Θη. ὁ δ' Οἰδίπου ⟨παῖς⟩ τίνι τρόπωι Θήβας λιπών;